θεωροῦντες αὐτὸν πορευόμενον ὅτι ἔβλεψεν, καὶ Τωβιτ ἐξωμολο- BA
17 γεῖτο ἐνώπιον αὐτῶν ὅτι ἠλέησεν αὐτὸν ὁ θεός. [17]καὶ ὡς ἤγγισεν
Τωβιτ Σαρρα τῇ νύμφῃ αὐτοῦ, κατευλόγησεν αὐτὴν λέγων Ἔλθοις
ὑγιαίνουσα, θύγατερ· εὐλογητὸς ὁ θεός, ὃς ἤγαγέν σε πρὸς ἡμᾶς, καὶ
18 ὁ πατήρ σου καὶ ἡ μήτηρ σου. [18]καὶ ἐγένετο χαρὰ πᾶσι τοῖς ἐν Νι-
19 νευη ἀδελφοῖς αὐτοῦ. [19]καὶ παρεγένετο Αχιαχαρος καὶ Νασβας ὁ ἐξ-
άδελφος αὐτοῦ, καὶ ἤχθη ὁ γάμος Τωβια μετ᾽ εὐφροσύνης ἑπτὰ ἡμέρας.
12 [1]Καὶ ἐκάλεσεν Τωβιτ Τωβιαν τὸν υἱὸν αὐτοῦ καὶ εἶπεν αὐτῷ
Ὅρα, τέκνον, μισθὸν τῷ ἀνθρώπῳ τῷ συνελθόντι σοι, καὶ προσ-
2 θεῖναι αὐτῷ δεῖ. [2]καὶ εἶπεν αὐτῷ Πάτερ, οὐ βλάπτομαι δοὺς αὐτῷ
3 τὸ ἥμισυ ὧν ἐνήνοχα, [3]ὅτι με ἀγείοχέν σοι ὑγιῆ καὶ τὴν γυναῖκά
μου ἐθεράπευσεν καὶ τὸ ἀργύριόν μου ἤνεγκεν καὶ σὲ ὁμοίως ἐθε-
4 ράπευσεν. [4]καὶ εἶπεν ὁ πρεσβύτης Δικαιοῦται αὐτῷ. [5]καὶ ἐκάλεσεν
5 τὸν ἄγγελον καὶ εἶπεν αὐτῷ Λαβὲ τὸ ἥμισυ πάντων, ὧν ἐνηνόχατε.

16 τωβιτ 2⁰] -β(ε)ιας B | αυτων] -του B† | αυτον ult.] -τους B
12 2 αυτω 1⁰ > B†

---

ἐν Νινευη πορευόμενον καὶ διαβαίνοντα αὐτὸν πάσῃ τῇ ἰσχύι αὐ- S
τοῦ καὶ ὑπὸ μηδενὸς χειραγωγούμενον ἐθαύμασαν, καὶ Τωβιθ ἐξ-
ωμολογεῖτο ἐναντίον αὐτῶν ὅτι ἠλέησεν αὐτὸν ὁ θεὸς καὶ ὅτι ἤνοι-
17 ξεν τοὺς ὀφθαλμοὺς αὐτοῦ. [17]καὶ ἤγγισεν Τωβιθ Σαρρα τῇ γυναικὶ
Τωβια τοῦ υἱοῦ αὐτοῦ καὶ εὐλόγησεν αὐτὴν καὶ εἶπεν αὐτῇ Εἰσ-
έλθοις ὑγιαίνουσα, θύγατερ, καὶ εὐλογητὸς ὁ θεός σου, ὃς ἤγαγέν
σε πρὸς ἡμᾶς, θύγατερ· καὶ εὐλογημένος ὁ πατήρ σου, καὶ εὐλο-
γημένος Τωβιας ὁ υἱός μου, καὶ εὐλογημένη σύ, θύγατερ· εἴσελθε
εἰς τὴν οἰκίαν σου ὑγιαίνουσα ἐν εὐλογίᾳ καὶ χαρᾷ, εἴσελθε, θύγα-
18 τερ. [18]ἐν τῇ ἡμέρᾳ ταύτῃ ἐγένετο χαρὰ πᾶσιν τοῖς Ιουδαίοις τοῖς
19 οὖσιν ἐν Νινευη. [19]καὶ παρεγένοντο Αχικαρ καὶ Ναβαδ οἱ ἐξάδελ-
φοι αὐτοῦ χαίροντες πρὸς Τωβιν.
12 [1]Καὶ ὅτε ἐπετελέσθη ὁ γάμος, ἐκάλεσεν Τωβιθ Τωβιαν τὸν υἱὸν
αὐτοῦ καὶ εἶπεν αὐτῷ Παιδίον, ὅρα δοῦναι τὸν μισθὸν τῷ ἀνθρώ-
πῳ τῷ πορευθέντι μετὰ σοῦ ⟨καὶ⟩ προσθεῖναι αὐτῷ εἰς τὸν μισθόν.
2 [2]καὶ εἶπεν αὐτῷ Πάτερ, πόσον αὐτῷ δώσω τὸν μισθόν; οὐ βλά-
πτομαι διδοὺς αὐτῷ τὸ ἥμισυ τῶν ὑπαρχόντων, ὧν ἐνήνοχεν μετ᾽
3 ἐμοῦ. [3]ἐμὲ ἀγείοχεν ὑγιαίνοντα καὶ τὴν γυναῖκά μου ἐθεράπευσεν
καὶ τὸ ἀργύριον ἤνεγκεν μετ᾽ ἐμοῦ καὶ σὲ ἐθεράπευσεν· πόσον
4 αὐτῷ ἔτι δῶ μισθόν; [4]καὶ εἶπεν αὐτῷ Τωβις Δικαιοῦται αὐτῷ,
5 παιδίον, λαβεῖν τὸ ἥμισυ πάντων, ὧν ἔχων ἦλθεν. [5]καὶ ἐκάλεσεν
αὐτὸν καὶ εἶπεν Λαβὲ τὸ ἥμισυ πάντων, ὧν ἔχων ἦλθες, εἰς τὸν
μισθόν σου καὶ ὕπαγε ὑγιαίνων.

12 1 ⟨και⟩ add. Fr.